Apparatus:
2 ου of Οὐαλερίων corr. ex δι; Λογ´γείνου pap.
3 ἡμῖν
4 σιτικῶν
6-7 ἐκλελειμμένων
9 ἐκκεκομμένων
12 first ο of ὄγδοον ex η
15 ω of ὀκτὼ ex η
18 δ of δυοτριακοστὸν ex corr; π of ἐπί ex corr.
21 σιτικῶν; τριις pap.; τρεῖς
22-23 βιβλιδίων
23 μεθ of ποιούμεθα ex corr.
26 συμπαρεῖναι; ὑμῖν; γιγνομένοις
27 ὁριοδείκτην
30 ἡμᾶς
32 Λογ’γεῖνος pap.

Transcription:
δεκαπρώτοις β̄ τοπαρχίας Ἡρακλείδου μερίδος
παρὰ (2nd hand) Οὐαλερίων Διογένους καὶ Λογγείνου καὶ Κλημεντείνου ἀμφοτέ-
ρων Λουκρητίου Ἀντινοέων. ὑπαρχουσῶν ἡμεῖν περὶ κώμην Φιλα-
δελφίαν ἐπὶ μὲν τῆς δ̄ σφρ(αγῖδος) σειτικῶν σπόρου ἀρουρῶν ὀκτὼ ἡμίσους
ἐπὶ δὲ τῆς ε̄ σφρ(αγῖδος) ἀβρόχου ἀρουρῶν τεσσάρων ἡμίσους ζ̄ σφρ(αγῖδος) ἀβρό
-
χου ἀρουρῶν ἑπτὰ δενδρικῶν ἀρουρῶν δέκα ἐκ μέρους ἐγλελιμ-
μένων ιδ̄ σφρ(αγῖδος) ὁμοίως δενδρικῶν ἀρουρῶν ἑπτὰ ἀφ’ ὧν ἄρουραι
τρε[ῖς] ἐκκεκομμέναι κ̄ σφρ(αγῖδος) δενδρικῶν ἀρουρῶν ἓξ `ἡμίσους´ καὶ ἐ
ξ ὅλων
ἐκκ[ε]κομμενου ἀρουρῶν δύο ὁ τῆς κώμης πραγματικὸς ἴσως κα[τ]ὰ
πλάνην ἔταξεν διὰ τοῦ προτεθέντος κατ’ ἄνδρα βιβλίου ἐπὶ μὲν
τῆς δ̄ σφρ(αγῖδος) ὅλας σπόρου ἀρούρας ἐννέα ἥμισυ [ὄγ]δοον πλείω προσγρά-
ψ[α]ς ἄρουραν μίαν ὄγδοον ἐπὶ δὲ τῆς ε̄ σφρ(αγῖδος) ὅλας ἀβρόχου ἀρούρας
ἓξ προσποιήσας ἄρουραν μίαν ἥμισυ καὶ ἐπὶ τῆς ζ̄ σφρ(αγῖδος) ὅλας ἀβρό-
χ[ου] (ἀρούρας) ιε (ἥμισυ) δενδρικὰς ἀρούρας ἕνδεκα ἥμισυ προσγράψας ἀβρόχου
μ[ὲν] ἀρούρας ὀκτὼ ἥμισυ δενδρικὴν δὲ ἄρουραν μίαν ἥμισυ ιδ̄
[σφρ(αγῖδος)] ὅλας δενδρικὰς ἐπ’ ὀνομάτων ἡμῶν καὶ τῆς κατ[ὰ] μητέ[ρ]α
[ἡμῶ]ν μάμμης Ἁρσοῦτος ἀρούρας δέκα ἥμισυ δυοτριακ[οσ]τ[ὸν πρ]ὸσ-
[ποι]ήσας ἀρούρας τρεῖς ἥμ[ισ]υ δυοτριακοστὸν κ̄ σφρ(αγῖδος) ἐπὶ τῶν αὐ-
τῶν ὀνομάτων δενδ[ρ]ικὰς ἀρούρας εἴκοσι τρ[εῖ]ς ἥμισυ προσ-
ποιήσας ἀρούρας δεκαπ[έ]ντε, κουφίσας ἀφ’ ὧν [ἔχο]μεν ἐπὶ τῆς
[α]ὐτῆς σφρ(αγῖδος) σ[ει]τικῶν ἀβρόχου ἀρουρῶν ἑπτὰ ἀρούρας τριῖς ἥμισυ .
ὅθεν, οὐκ ὀλίγου ὄντος τοῦ ἀδικήματος, τὴν ἐπίδοσιν τῶν βι-
βλειδίων ποιούμεθα μαρτυρούμενοι κατὰ τὰ κελευσθέντα ὑ-
π[ὸ] Κ[λ]αυδίου [Μ]αρκέλλου τοῦ διασημοτ[ά]του καθολικοῦ καὶ Μαρκίου
Σαλουταρίου [το]ῦ κρατίστου ἐπ[ι]τρόπου [τ]ῶν Σεβαστῶν καὶ ἀξιοῦ-
μεν συνπαρεῖναι ὑμεῖν γεινομένοις ἐπὶ τὴν αὐτοψίαν τὸν
τε πραγματικὸν καὶ ὁριοδίκτην καὶ τὴν ἀκριβῆ ἀναμέτρησιν
ποιήσασθαι πρὸς τὸ φανερᾶς γενομένης τῆς κ[α]θ’ ἡμῶν ψευ-
δογραφίας μηδεμίαν ζήτησιν φόρων περὶ ὧν ἐν πλεονασ-
μῷ ἔταξεν πρὸς ὑμ[ᾶς γ]ενέσθαι τηρουμέν[ου ἡ]μῶν τοῦ δικαί-
ου τῆς κτήσεως. - ca. ? - διευτυχεῖτε.
(3rd hand) Οὐαλέριος Λογγεῖνος ἐπιδέδωκα. (4th hand) [Ο]ὐαλέρ[ιος] Κλημ[εν
τ]ε[ῖνο]ς συνεπιδέδωκ[α].
(5th hand) Οὐαλέριο[ς] Διογένης συνεπιδέδωκα.
vac. ?
(2nd hand) ἔ[τους ̣]´Αὐ[τ]οκράτορος Καίσ[α]ρο[ς] Μάρκου Ἰουλ[ίου Φιλί
ππου Εὐσεβοῦς]
[Εὐτυχοῦς] καὶ [Μ]άρκου [Ἰο]υλ[ί]ου Φιλ[ί]ππ[ο]υ γενναι[οτάτου καὶ ἐπιφανεστάτ
ου]
[Καίσαρος] Σεβαστῶν - ca. ? - Παῦν[ι